πατρίδα προελόμενος ἐκεῖσε ἐντίμως μετέβη, καὶ τὸ λοιπὸν τοῦ βίου ἐν ἡσυχίᾳ καὶ μελέτῃ τῶν θείων Γραφῶν ἀφοσιώσας διάγει ἐν γήρει εὐπαθῶν καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος τὰς ὑψοποιοὺς καὶ θεοειδεῖς.

Κατὰ δὲ τὸ Ἰλλυρικὸν οἱ ὀρθόδοξοι Δαλμάται διενοχλούμενοι ὑπὸ τῶν φρατόρων καὶ μηκέτι φέροντες τὰς αὐτῶν ῥᾳδιουργίας ἤρξαντο δυσπετεῖν ἀστατοῦντες· διαγνοῦσα οὖν ἡ γαληνοτάτη ἀριστοκρατία τῶν Ἑνετῶν τῶν ὑπηκόων τὴν ταραχήν, διεπυνθάνετο τὸν στρατηγὸν ἀνθ᾽ ὅτου δυσχεραίνει καὶ ἀστατεῖ τὸ ὑπήκοον· ὁ δὲ διασαφήσας ὅτι περὶ τὴν πίστιν ἐνοχλούμενοι οἱ ὀρθόδοξοι ὑπὸ τῶν δυτικῶν ἱερέων ταράττονται, προσέθετο ὡς εἰ μὴ ἀρχιερέα τῆς ἀνατολικῆς ἐκκλησίας αὐτοῖς ἐπιστήσουσιν, οὐκ ἂν ἄλλως ἐφησυχάσειεν. Τούτων οὖν γνωσθέντων, τὸ μὲν ἀρχιερέα αὐτοῖς ἀποκαταστῆσαι, διὰ τὴν ἐκ τῆς Ῥώμης ὑλακήν, παρῃτοῦντο· ἐνίοις γοῦν ἐδόκει τὸν ἐκ πολλοῦ καταργηθέντα πρόεδρον Φιλαδελφείας Ἑνετίῃσιν ἀνανεώσασθαι κατὰ τὸ πρότερον, ὥστε ἐνεργοῦντα τὰ τῆς ἀρχιερατείας ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, τοῖς Γραικοῖς προΐστασθαι κηδόμενον καὶ τῶν ὀρθοδόξων ἐν Δαλματίᾳ ἐκκλησιῶν. Ἐπεὶ δὲ ἐν τοιαύτῃ πολυάνδρῳ ὁμηγύρει πολλὰ συγκυρεῖ πάθη τε καὶ διαφέροντα ἴδια, ὑφέρποντα τῷ λογισμῷ, καὶ τῷ κοινῷ συμφέροντι πολλάκις ἀνθιστάμενα, καὶ οὐκ ἐν πᾶσιν ὡς ὤφειλεν ἐπικρατεῖ ὁ ὀρθὸς λόγος, οἱ πλείους τῆς χείρονος ἐγένοντο γνώμης, καὶ οὔτε ἀρχιερέα ἴδιον τοῖς ὀρθοδόξοις Δαλμάταις ἐπιτρέψαι διέγνωσαν, ἵνα μὴ καινὰ ποιοῦντες τὸν Ῥώμης πάπαν λυπήσωσι, μήτε τὸν Ἑνετίῃσι πρόεδρον Φιλαδελφείας ἀποκαταστῆσαι κατὰ τὴν προτέραν ἐλευθερίαν τῆς ἐκκλησίας καὶ τὰ τότε ἐκ δικαιοπραγούσης τῆς γνώμης προσνενεμημένα προνόμια, ἅπερ εἶχον οἱ Φιλαδελφείας πρόεδροι ἐκεῖ πρὸ τοῦ Κακομελετίου Τυπάλδου, ὃν ἀποστατήσαντα τῆς ὀρθοδόξου ἐκκλησίας δικαίως κατεδίκασε καὶ καθαιρέσει παντελεῖ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ